*διαφορῶν πρῶτον ἔξονται τῶν περὶ τὰ σώματα φαινομένων κατὰ χρόνους καὶ φύσεις καὶ μεταβολάς. οἷον εὐθὺς ἐν νέοις ἀκμάζει τὸ ἐπιθυμητικόν, ἐν πρεσβύταις ⟨δὲ⟩ τὸ περίλυπον· τοῖς μὲν γὰρ αἷμά τε θερμὸν ἐγκέκραται, καὶ πνεῦμα ῥαγδαῖον ἐπὶ τὰς πράξεις παρέστηκε, καὶ τὸ σῶμα τοῖς ὀργάνοις καθαροῖς καὶ ἀκραιφνέσιν ἐμμελὲς ἀεὶ καὶ πολύσφυκτον ἀνακινεῖ καὶ ἀναρριπίζει τὰς ἐπιθυμίας, ὥσπερ ἐξ ὕλης νεαρᾶς ἀναπτομένας †περιφέρειν αἵματος, ἐξ ὧν μεταβαλλόμενον ἐπὶ πολλὰ ταῖς ὁρμαῖς τὸν νέον ⟨ὁρῶμεν⟩. ὁ ⟨δὲ⟩ πρέσβυς τοῦ τε θερμοῦ προλιπόντος ἤδη, ᾧ τὸ ἐπιθυμητικὸν ἀνεζωπυρεῖτο, καὶ τῷ πνεύματι χαλῶν καὶ κατατετριμμένος τῷ σώματι περὶ τὰς ἡδονάς, ἀμβλὺ ταῖς ἐπιθυμίαις καὶ δυσκίνητον* ***